κτηνῶν καὶ ἔδωκεν αὐτὰ τοῖς Λευίταις τοῖς φυλάσσουσιν τὰς
φυλακὰς τῆς σκηνῆς κυρίου, ὃν τρόπον συνέταξεν κύριος τῷ
Μωυσῇ.
48 [48]Καὶ προσῆλθον πρὸς Μωυσῆν πάντες οἱ καθεσταμένοι εἰς τὰς
49 χιλιαρχίας τῆς δυνάμεως, χιλίαρχοι καὶ ἑκατόνταρχοι, [49]καὶ εἶπαν
πρὸς Μωυσῆν Οἱ παῖδές σου εἰλήφασιν τὸ κεφάλαιον τῶν ἀνδρῶν
τῶν πολεμιστῶν τῶν παρ' ἡμῶν, καὶ οὐ διαπεφώνηκεν ἀπ' αὐτῶν
50 οὐδὲ εἷς· [50]καὶ προσενηνόχαμεν τὸ δῶρον κυρίῳ, ἀνὴρ ὃ εὗρεν
σκεῦος χρυσοῦν, χλιδῶνα καὶ ψέλιον καὶ δακτύλιον καὶ περιδέξιον
51 καὶ ἐμπλόκιον, ἐξιλάσασθαι περὶ ἡμῶν ἔναντι κυρίου. [51]καὶ ἔλαβεν
Μωυσῆς καὶ Ελεαζαρ ὁ ἱερεὺς τὸ χρυσίον παρ' αὐτῶν, πᾶν σκεῦος
52 εἰργασμένον· [52]καὶ ἐγένετο πᾶν τὸ χρυσίον, τὸ ἀφαίρεμα, ὃ ἀφεῖ-
λον κυρίῳ, ἓξ καὶ δέκα χιλιάδες καὶ ἑπτακόσιοι καὶ πεντήκοντα
53 σίκλοι παρὰ τῶν χιλιάρχων καὶ παρὰ τῶν ἑκατοντάρχων. [53]καὶ οἱ
54 ἄνδρες οἱ πολεμισταὶ ἐπρονόμευσαν ἕκαστος ἑαυτῷ. [54]καὶ ἔλαβεν
Μωυσῆς καὶ Ελεαζαρ ὁ ἱερεὺς τὸ χρυσίον παρὰ τῶν χιλιάρχων
καὶ παρὰ τῶν ἑκατοντάρχων καὶ εἰσήνεγκεν αὐτὰ εἰς τὴν σκηνὴν
τοῦ μαρτυρίου μνημόσυνον τῶν υἱῶν Ισραηλ ἔναντι κυρίου.
32 [1]Καὶ κτήνη πλῆθος ἦν τοῖς υἱοῖς Ρουβην καὶ τοῖς υἱοῖς Γαδ, πλῆ-
θος σφόδρα· καὶ εἶδον τὴν χώραν Ιαζηρ καὶ τὴν χώραν Γαλααδ,
2 καὶ ἦν ὁ τόπος τόπος κτήνεσιν. [2]καὶ προσελθόντες οἱ υἱοὶ Ρουβην
καὶ οἱ υἱοὶ Γαδ εἶπαν πρὸς Μωυσῆν καὶ πρὸς Ελεαζαρ τὸν ἱερέα
3 καὶ πρὸς τοὺς ἄρχοντας τῆς συναγωγῆς λέγοντες [3]Αταρωθ καὶ
Δαιβων καὶ Ιαζηρ καὶ Ναμβρα καὶ Εσεβων καὶ Ελεαλη καὶ Σεβαμα
4 καὶ Ναβαυ καὶ Βαιαν, [4]τὴν γῆν, ἣν παρέδωκεν κύριος ἐνώπιον τῶν
υἱῶν Ισραηλ, γῆ κτηνοτρόφος ἐστίν, καὶ τοῖς παισίν σου κτήνη
5 ὑπάρχει. [5]καὶ ἔλεγον Εἰ εὕρομεν χάριν ἐνώπιόν σου, δοθήτω ἡ γῆ
αὕτη τοῖς οἰκέταις σου ἐν κατασχέσει, καὶ μὴ διαβιβάσῃς ἡμᾶς τὸν
6 Ιορδάνην. [6]καὶ εἶπεν Μωυσῆς τοῖς υἱοῖς Γαδ καὶ τοῖς υἱοῖς Ρουβην Οἱ
ἀδελφοὶ ὑμῶν πορεύονται εἰς πόλεμον, καὶ ὑμεῖς καθήσεσθε αὐτοῦ;
7 [7]καὶ ἵνα τί διαστρέφετε τὰς διανοίας τῶν υἱῶν Ισραηλ μὴ διαβῆναι
8 εἰς τὴν γῆν, ἣν κύριος δίδωσιν αὐτοῖς; [8]οὐχ οὕτως ἐποίησαν οἱ πα-
τέρες ὑμῶν, ὅτε ἀπέστειλα αὐτοὺς ἐκ Καδης Βαρνη κατανοῆσαι
9 τὴν γῆν; [9]καὶ ἀνέβησαν Φάραγγα βότρυος καὶ κατενόησαν τὴν
γῆν καὶ ἀπέστησαν τὴν καρδίαν τῶν υἱῶν Ισραηλ, ὅπως μὴ εἰσέλ-
10 θωσιν εἰς τὴν γῆν, ἣν ἔδωκεν κύριος αὐτοῖς. [10]καὶ ὠργίσθη θυμῷ

50 χλιδωνα] pr. και B*
32 1 σφοδρα] pr. πολυ A || 2 αρχοντας] ανδρας A† || 3 αταρων A | ναμβρα] αμβραμ A: cf. 36 | βαιαν] βαμα A† || 4 παραδεδωκεν B† | των > A | γη κτηνοτρ.] tr. A† || 5 ελεγοσαν A | ενωπ.] εναντιον A | οικεταις] παισιν A || 6 πορευσονται A | πολεμον] pr. τον B^c || 7 διανοιας] καρδιας A | διαβηναι] αναβ. A† || 9 κυριος αυτοις] tr. A